eod | books2ebooks.eu

Mattsson
Argillander, Andreas Andreæ

# Oratio de studio pietatis et bonorum operum : (Upps. 1631)

Upsaliæ
1631

e-böcker från ditt bibliotek av
eod | eBooks on Demand
digitaliserad av
Kungliga Biblioteket
KUNGL. BIBLIOTEKET
National Library of Sweden

# EOD – Miljoner böcker bara en knapptryckning bort. I mer än 10 europeiska länder!



**Tack för att du väljer EOD!**
Europeiska bibliotek har miljontals böcker från 1400- till 1900-talet i sina samlingar. Alla dessa böcker går nu att få som e-böcker – de är bara ett musklick bort. Sök i katalogen från något av biblioteken i eBooks on Demand- nätverket (EOD) och beställ boken som e-bok – tillgängligt från hela världen, 24 timmar per dag och 7 dagar i veckan. Boken digitaliseras och blir tillgänglig för dig som e-bok.

## EOD bokens fördelar!

- Få samma utseende och känsla som med originalet!
- Använd ditt standardprogram för att läsa boken på skärmen, zooma och navigera genom boken.
- Skriv ut enstaka sidor eller hela boken.
- *Sök*: Använd fulltextsökning för enskilda fraser.
- *Klipp & klistra*: Kopiera bilder och delar av texten till andra applikationer (t.ex. ordbehandlingsprogram).

## Villkor för användning

Genom att använda EOD-tjänsten accepterar du de villkor som ställs av biblioteket som äger den aktuella boken.

- Villkoren på svenska: http://books2ebooks.eu/odm/html/nls/sv/agb.html

## Fler e-böcker

Redan nu erbjuder 30 bibliotek från 12 europeiska länder denna service.
Mer information finns tillgängliga via http://books2ebooks.eulla boken.

- http://search.books2ebooks.eu/

# ORATIO DE STUDIO PIETATIS ET BONORUM OPERUM,

IN ALMA UNIVERSITATE LITTERARIA UPSAL. AD FERIAM SOLENNIS Festi Penticostes secundam, Anni 1631. proclamata,

ab

ANDREA ANDREÆ ARGILLANDRO.

*1. Tim. 4. v. 8. Pietas ad omnia utilis est habens promissiones vitæ præsentis ac futuræ.*
*Gal. 6. v. 9. Bonum faciendo ne defatigemur, &c.*

UPSALIÆ,

Imprimebat ESCHILLUS MATTHIÆ, ANNO M. DC. XXXI.

F1700 Före 1700 Br774 Litt. Grek. Tal. Univ. (Br.)
41
2
KUNGL. BIBLIOTEKET STOCKHOLM

*Admodum Reverendo & Clarissimo Viro,*

Dn. M. SVENO: SVENONIS,
Inclytæ Diœcesis Scaren. Episcopo dignissimo,
Mæcenati Magno & Patri in Christo piê ac
reverenter colendo.

*Admodum Reverendo & Clarissimo Viro,*

Dn. M. ANDREÆ PRYTZ,
Præsuli & Superintendenti Gotheburgensi meri-
tissimo fautori ac præceptori suo
eximiè venerando.

NEC NON

*Nobilissimis & Excellentissimis Viris,*

Dn. LINNARDO STAKE,
de Bergh/ Patrono & benefactori suo æ-
ternùm honorando.

Dn. NICOLAO POSSE,
de Nolektier / fautori multùm
suspiciendo.

*Reverendis item & Clarissimis Viris,*

Dn. M. OLAO S. Past. & Archipræp. Scar. dignis.
Dn. M. ARVIDO Past. in Fristad eximiè honorado.
Dn. LAURENTIO Past. in Tonheem plurimùm
venerando.
Dn. M. GUNARO E. Bergio, Past. Schödensi
jugiter colendo.
Dn. M. SVENO: GUDHEMIO Pastori in Öster-
vplanda gravissimo,

Dn. M. Johanni *Nylös. Scholæ Scaren. Rectori prudentiss.*
D.n M. Laurentio *Lecb. ibidem S. S. Theolgiæ Lectori longè versatißimo.*
Dn. Johanni O. *Past. in* Leffuene/ *excellentiss. præceptori suo æternùm colendo,*
Dn. M. Sueno: S.*Scholæ Scar. Conrectori dexterrimo.*
Dn. M. Sueno: B. *Past. in* Gudheem/ *celeberrimo.*
Dn. Erasmo N. *Past. in* Huseby/ *religiosißimo.*
Dn Erico B. *P. & Past. in* Tossödh / *meritißimo.*
Dn. M. Hinrico T. *Rectori Schol. Gotheburg. litteratißimo.*
Dn. Arvido B. *Past. in* Hör/ *disertißimo.*
Dn. Andreæ *Past. in* Bolstadh/ *pijßimo.*
Dn. Andreæ *Past. in* Särstadh/ *præstantißimo.*
Dn. Jonæ H. *Past.* Eedh/ *doctißimo.*
Dn. Laurentio *Past. in* Orslösa/ *spectatißimo,*
Dn. Petro *Past. in* Rädha/ *vigilantißimo.*
Dn. Bendicto H. *Past. in* Fergelanda/ *attentißimo.*
Dn. Arvido *Past. in* Frendefors/ *solertißimo.*
Dn. Suenoni *Past. in* Brette/ *integerrimo.*
Dn. Jonæ Johannis *Past. in* Högsätter/ *maximè industrio.*
Dn. Erico Fugelio *Diacono in* Hör/ *impigerrimo.*
Dn. Benedicto H. *Past. in* Steneby/ *fidelißimo,*
Dn. Andreæ A. *Comministro in* Särstadh/ *eruditißimo.*
Dn. Jonæ Matth. *Symmystæ in* Hör/ *observantiss. præceptori suo perpetim honorando.*
Dn. Martino H. *Sacellano in* Färgelanda/ *diligentißimo.*

*Dn̄. Mæcenatibus, fautoribus ac promotoribus certißimis, nullo non observantiæ genere æternùm prosequendis, hanc declamatiunculam spe benevolæ susceptionis demißè,*

*Consecrat offertq;*

Andreas Andreæ Daliâ
Argillander.

*Litteratißimæ Studiosæ juventuti Salutem, &c.*

HOdie finitis precibus vespertinis, Deo paternè & clementer adjuvante, de studio pietatis & bonorum operum, quod auspice Spiritu S. feliciter frugifereq; & instituitur & finitur, Orationem Græcam stylo tersissimo â se concinnatam declamabit in auditorio veteri, præclaræ indolis optimæq; spei juvenis, *Dn. Andreas Andreæ Dalius*, amicè proindè, & quo par est honore, præstantissimos ac doctissimos Musarum alumnos, virtutumq; excultores indefessos rogatos velit, quò laudabile suum exercitium frequenti ac honorificâ eorum præsentiâ cohonestari & exornari queat. valete.

*JOHANNES LAURENTII*
*Stalenus.*

## ΛΌΓΟΣ ΠΕΡῚ ΣΠΟΥΔῆΣ ΤῆΣ εὐσεβείας καὶ τῶν καλῶν ἔργων.

ΤΗν ἡλικίαν ἡμῶν (Μεγαλόιοι Κυρίοι Ἐπιστάται, καὶ Διδασκάλοι πασῆς τῆς θεραπείας ἀξιώτατοι καὶ βοήθοι ἀΐδιως τιμιτίοι, Γενναιοι καὶ Γνωρίμοι Κυρίοι Βαρῶνοι, Εὐπροσηγορωτάτοι Κυρίοι Φιλομάθαι) την ἡλικίαν ἡμῶν, λέγω, εἰς χρόνον, τον ἀνελπίσθεντα πεπλωκέναι οὐδένα ἐξαρνησόμενον, νομίζω; Ἐν ᾧ μὲν εὐσέβεια φεύγει, ἡ ἀγάπη ῥιγεῖ, τὰ ἀγαθὰ ἤθη ὀλιγωροῦνται; Ἀντὶ δὲ ἀσέβεια ἐπακμάζει, αἱ ἁμαρτίαι καὶ τὰ ἀσεβήματα ἀτιμωρητὶ κατασκήπτουσι, κυριεύουσι. Ὥστε ἀληθῶς τοῦτον τῆς ζωῆς ἡμῶν χρόνον ἐκεῖνον εἶναι γινόσκωμεν, ὅν ἱερὸς Αὐγούστινος πασῆς ἀσεβείας παντὸς ἁρπάσματος, καὶ πασῆς τῶν κάκων ἀντλίας μέσον, ἐπὶ ἐσχάτης τοῦ κόσμου τούτου ἑσπέρας μέλλοντα, ἔλεγεν; Ὅτι καθ' ὅσον νοῦς ἡμῶν δύναται τῆς μνείας ἐσχάτης τῶν παρῳχημένων αἰωνων ἐξ ἱστορίων ἱέρων μέμνησθαι οὐδένα αὐτῶν εἰς τόσην ἐπιθυμίαν ἀπολελυμένον εἶναι, ἢ τὸν ἡμῶν ἔσεται. Διότι εὐδοκεῖ τὴν σπουδὴν τῆς εὐσεβείας καὶ καλῶν ἔργων μεθ' ὀλίγων μελετᾶν; Ἄλλως τε ὅταν οὐδὲν μᾶλλον εὔχρηστον καὶ ἀναγκαῖον ἐν τῷ βίῳ τούτῳ θανασίμῳ ᾖ, ἤ περὶ τῆς εὐσεβείας σπουδάζειν; Οὕτως γὰρ τὴν πίστιν ἡμῶν ἐμφανίζομεν, δι' ἧς εὐδοκέοντες καὶ δεκτοὶ ἐνώπιον τοῦ Θεοῦ γινόμεθα, ἱνός ἤδη τέλος ἐστὶ αἰώνιος σωτηρία τῶν ψύχων. Οὐδὲν ὕστερον ἡμῖν εὔβουλον μᾶλλον, ἢ τῆς λειτουργίας ἡμῶν λόγον ἔχειν, τότε δὲ μάλιστα, ὅτι καθ' αὐτὴν ἔσται ἀντίδοσις ἐν τῇ ἡμέρᾳ κρίσεως, ὅταν ἀποδῷ ὁ κύριος ἑκάστῳ, ὡς ἐποίησε ἐν τῷ βίῳ εἴτε καλῶς, εἴτε κακῶς. Τότε ναὶ τὰ ἔργα τῆς σκίας ἀνανεύσαι, καὶ τὰ ἔργα τοῦ φωτὸς τοῦ ἀνθρώπου φιλοχρείστου ἄξια ποιήσαι, πολλαχῶς συνοίσει. Κὰν πρεπὸν τὸ τῆς εὐσεβείας γύμνασμα, καὶ τῶν καλῶν ἔργων σπουδὴ ἐπιδεξίως ἡμῖν

 ἀπὸ

ἀπὸ τῶν διακόνων τοῦ θείου λόγου καθ' ἡμέραν ἀφθόνως παρεμβάλληται, ἵνα ἀπ' ἐμοῦ ὡς χρῆμα ἀλλότριον ἀναξίως ἐπιχειρῆται, ὡς ἐμαυτῷ κριτικὴν τὴν ὀξύτην ἀπονέμω, καὶ τοὺς ἄλλους διδάσκω, κἀγὼ ὅμως πλημμελέω, Ἀλλ' οὖν ὅταν ἴδω οὐδὲν τοῖς κήρυξι μᾶλλον κεκροτημένον, ἢ οἱ ἀκουστικοὶ δεδομένα ἑαυτοῖς διδάγματα διανοῶσι καὶ οὐδὲν τοῖς διδασκάλοις μᾶλλον εὐπρόσδεκτον, ἢ ἐὰν τοὺς μαθητὰς ἀφ' αὐτῶν λεληφέναι γινόσκωσιν, ἵνα εἰς ἀλλήλους πρὸς τὰ τῆς εὐσεβείας καὶ τῶν ἀρετῶν γυμνάσματα ἐκκαλῶσι. Διὰ τοῦτο ὅταν ἐπεχείρησα τι λέγειν, ἐκεῖνο μοι περιοχὴν φάναι ἐβουλόμην, ὃ ἐν τῇ περιόδῳ ταύτῃ ἐντίμῃ κέντρον τῆς εὐσεβείας ἐν τοῖς θύμοις λείπῃ. Ὑμᾶς οὖν ἀκουστικοὶ περιέχοντες, μάλιστα ἐρωτῶ, ἵνα περὶ τῆς εὐμενείας καὶ εὐφημίας ὑμῶν εἰς ἐμέ μελόγον περὶ τῆς εὐσεβείας καὶ κάλων τῶν ἔργων σπουδῆς ἀκολουθησομένης περὶ φαύλης τῆς γνώμης ἔχοντα, εὐμενῶς διακούειν, μὴ ἀπαξιῶτε, ὃ ἐν εὐχῇ ἔχω, ὑμέτερον ἐστι, διὰ τοῦτο οὐ μὴ ἀχάριστον ἔσεσθαι ἐλπίζω.

Ὅταν ἔκλεκτον τοῦ Θεοῦ ὄργανον Ἀπόστολος ἐκείνως εὐτυγχάνει πρός ἡμᾶς; Τοῦ Θεοῦ ἐσμὲν ποίημα, κτίσθεντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, ἄξιον καὶ δίκαιον ἐστὶν ἵνα τὸν δρόμον εὐσεβείας καὶ σπουδῆς τῶν ἀγαθῶν ἔργων ἀδιαλείπτως καὶ προθύμως ἀναγκάζωμεν; Τοῦτο γὰρ ποιεῖν ὑπὸ τῆς ἐντολῆς θείης κρατούμεθα, ἡ προστάσσει ἵνα λαμψάτω τὸ φῶς ἡμῶν ἔμπροσθεν τῶν ἀνθρώπων ὅπως ἴδοντες ἡμῶν τὰ κάλα ἔργα, καὶ δοξάζωσι τὸν πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Πρὸς τοῦτο ἤδη διακινήσει ἡμᾶς ὁ θεῖος νόμος, ὃν μετὰ πρώτων τῶν γονων ἡμῶν ἔχομεν κοίνον; Διὰ τῆς πτώσεως γὰρ αὐτῶν ὁ ζύγος τοῦ νόμου ἐκ τῶν τραχήλων ἡμῶν οὐκ σεσεισμένος ἐστὶ. Ἐπειδὴ γὰρ ὁ πρωτοπλάστοι εἰς ταλαιπωροτάτην κατάστασιν διὰ τὸ ὀλίσθημα ἀπειλημμένοι καὶ δόρων τῆς ἀδιαφθορίας ἀπολελειμμένοι ὦσι ὥστε μὴ ἐνθέλματα Θεοῦ ἑτοίμως ἐπιθελεῖν ἰσχύωσι, τὸν νόμον ἐν τῇ καρδίᾳ αὐτῶν γεγραμμένον, ἀπογόνοις ἐν τῇ γράφῃ ἐπέγγειλεν, ἵνα ἐν αὐτοῖς ἤδη μετὰ πτῶσιν γενηθῇ τοῦ αὐτοῦ ὀνόματος εὐδοξία, τε καὶ τοῦ θελήματος ἐξεργασία φανερωθῇ. Διὰ τοῦτο ἤδη πρὸς τοὺς χρόνους ἡμετέρους ἅγιον τὸν νόμον αὐτοῦ ὁ Θεὸς πράως φυλάσσεσθαι ἠθέλη-

λησιν, ἵνα ἀφ' ἡμῶν ἅγιος καὶ ἀμήλυντος τηρῆται· καὶ ἡμᾶς καταστέλλῃ ἐν ἀληθεῖ τῷ εὐσεβήματι εἰς τὸν Θεόν, καὶ ἐν ἀνυποκρίτῃ ἀγάπῃ εἰς τὸ πλησίον ὑμῶν. Κἂν ὁ ἄνθρωπος διὰ πτῶσιν τῶν πρωτοπλάστων οὕτως παρατετραμμένος ᾖ, ἵνα βλέπῃ τὸν νόμον ἐν τοῖς μέλεσι αὐτοῦ ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός αὐτοῦ, καὶ αἰχμαλωτίζοντα ἐν τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι ἐν τοῖς μέλεσι αὐτοῦ, ὥστε ὃ θέλῃ ποιεῖν ἀγαθὸν δυσχερῶς πράσσῃ, ὅμως καθ' ὅσον δύναται τῷ νόμῳ ὑπακοὴν παρέχειν ὀφείλει; Ὁ Θεὸς γὰρ ἅγιον τὸν νόμον αὐτοῦ, ὃν τῷ πρώτῳ ἀνθρώπῳ φυλαχθησόμενον ἔδωκεν (ἵνα μὴ δικαιοσύνη αὐτοῦ βλάπτηται) ἕνεκα τῆς πτώσεως καταλύεσθαι οὐκ ἤθελε. Καὶ ὅταν ἕτερα κτίσματα ἐγγένεια ἑαυτοῖς τὸν νόμον διηνεκῶς τηρῶσι, οὐχὶ μᾶλλον δεῖ τὸν ἄνθρωπον παρέχειν αὐτοῦ τὴν ἐξεργασίαν, τῶν νόμων ἑαυτῷ τεθεμένων. Ἄλλωστε ὡς οὐδὲν ἐστὶ χρησιμότερον, ἢ κατὰ τὰς ἀρετὰς ἐν τῷ δεκαλόγῳ προστεταγμένας ἐργάζεσθαι, οὕτως οὐδὲν ἐστὶ βδελυκτότερον, ἢ εἰς δυσώδεα τὰ ἁμαρτήματα ἐμπίπτειν; Τί γὰρ μιαρώτερον ἢ παντοκράτορος τοῦ Θεοῦ ἐπιτάγματα ἀνανεύειν? Τί ἐπικινδυνότερον ἢ Θεοῦ τῷ θελήματι μὴ πείθεσθαι, ᾧ ἀντιπίπτειν οὐδεὶς δύναται. Ἀφαλκύσει διὸ ἡμᾶς πρὸς τὸ εὐσεβεῖσθαι, ἀμέτρη ἡ τοῦ Θεοῦ εὐεργασίαι, ἐν ᾗ ἡμᾶς ἐποίησε, καὶ κτισθέντας σιτίζει, καὶ βιωτικοῖς πᾶσι πλουτίζει. Διακινείτω ἀρρήτη αὐτοῦ ἡ ἀγάπη, ἐν ᾗ ἡμᾶς ἐνόχους πάσης τῆς ἀδικίας καὶ αἰωνίου τοῦ θανάτου εἰς ὅσον ἠγάπησε ἐν υἱῷ αὐτοῦ μονογενεῖ, ἵνα τοῦ ἀπολαβεῖν τὴν σωτηρίαν ἡμῶν ἐκ προαιρέσεως αὐτὸν τοῦ θανάτου λύπας ἀνέχειν θέλῃ, τοιαύτην ὑπακοὴν οὐχὶ δεῖ ἡμᾶς ἔχειν? Ὢ νοῦς ἀπιστίᾳ τυφλός, ὃς τῷ Θεῷ ὑπακούειν ἀνανεύει, τινὸς ἐὰν εὐεργετήματα, καθ' ἓ πολλαχῶς καταβεβλημένα μόγις φέρειν δύναται, τὰς ἐντολὰς αὐτοῦ πολυειδῶς βιάζεται. Ἄλλωστε καλῶς ἐργάζεσθαι ὀφείλομεν, ἵνα τὴν πίστιν ἡμῶν ἐμφανίζωμεν; Αὐτὴ γὰρ χωρὶς τῶν καλῶν ἔργων νεκρὰ ἐστὶ καθ' ἑαυτήν. Ὡς καλὸν τὸ δένδρον κάρποι ἀγάθοι ἀληθῶς ἀποδέκνυσιν, οὕτως τὴν πίστιν κάλα τὰ ἔργα δηλοποιοῦσιν. Ὅθεν τυγχάνουσι τῆς ἐλπίδος, οἵτινες πίστιν τὴν δικαιουμένην ἑαυτοῖς ἔχειν νομίζονται, τὰ ἢ ἔργα τῆς σκίας ἐργάζονται. Διότι ἐπιμελῶς πρὸς ἄσκησιν τῶν κάλων ἔργων παρακαλεῖ ἡμᾶς ὁ Ἀπόστολος,

λος λέγων; Ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκί, τοῦ κατὰ σάρκα ζῆν; Καὶ ἀλ-
λαχοῦ, πρὸς πάντας τὸ ἀγαθὸν ἐργάζεσθαι κατεχόμεθα; καὶ περισσό-
τερον ἐρεῖ; Τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν, καιρῷ γὰρ θερίσομεν
μὴ ἐκλυόμενοι. Οὐδὲ καλὰ τὰ ἔργα εἰς τοσοῦτον ἐκφέρω, ἵνα τὴν
ἐντελεχείαν τοῦ δικαιώματος προσάγειν νομίζωνται: Ὅταν οὐδὲν ἐν
τῷ ἀνθρώπῳ ᾖ, καὶ οὐδὲν ἀπὸ τοῦ ἀνθρώπου γίνεται, ὃ πρὸς τοῦ πορια-
πιειν ἑαυτοῦ σωτηρίαν ἱκανὸν ἐστίν, ἀλλὰ μᾶλλον καλὰ ἔργα, ἃ ἐν τῇ
χάριτι τοῦ πνεύματος ἁγίου ποιήσῃ ὁ ἄνθρωπος, ἐστὶ ἀληθῆ παρα-
σήματα, ὅτι ἀλήθεα πίστιν ἔχει ἐκεῖνος, ἐξ οὗ αὐτὰ ἐκπορεύεται.
Ἀποτέρω πρέπον ἐστὶν ἵνα τὴν εὐσεβείαν ἀσκῶμεν, ὅπως ὑπακοὴν
Θεῷ τῷ κτίσῃ παρέχωμεν, καὶ ἁγίῳ τῷ θελήματι αὐτοῦ πανταχοῦ
ἀεὶ πειθώμεθα; Οὐδὲν γὰρ ἄλλο ἡμῖν ἐστὶ τίμιον, ὃ ὑπερμέτρῳ τῷ
ἐλεεῖ καὶ ἀγαθοσύνῃ τοῦ Θεοῦ ἀποδιδῶμεν, ἢ εὐλαβείαν τοῦ νόμου αὐτοῦ
ἐν ἡμῖν μεθ' ἑτοίμης θεραπείας ἁγίαν δοξάζωμεν, καὶ θεοῦ βουλῇ μετ'
αὐτομάτης ἐνεργείας ἀποτεταγμένην ὁμολογίαν διδῶμεν. Προσ-
φέρει ἐ ἐνθάδε ἤδη τὸ πλησίον ἡμῶν, ὃ ἀγαπήσομεν. καὶ πρὸς αὐτὸ
εὐεργεσίαν καταθήσομεν Οὐδὲ καίτοι ἡμῖν μὴ ἀποδιδόναι ἰσχύει
οὐδὲ ὅμοια τὰ τῆς ἀγάπης δείγματα πρὸς ἡμᾶς κατατίθεσθαι, ἀπὸ τοῦ
νόμου καλῶς ποιεῖν μὴ ἀποστήσομεν, μήτε τὸ πλησίον μισήσομεν. ὅτι διὰ
τὸν Θεὸν αὐτὸ ἀγαπήσομεν, καὶ αὐτὸ εὐποιήσομεν, οὐκ ἵνα ἀφθόνως εὐ-
εργετήματα πεποιημένα ἀναλάβωμεν; ἀλλὰ μᾶλλον ὅπως τὰ ἐντέλ-
ματα τοῦ θεοῦ φυλάσσοντες, ἀγάπην μεγάλην ἐργαζώμεθα. Καί
εἰς τοῦτον τρόπον; τὴν εὐσεβείαν ἀσκοῦντες, ἀληθῶς ἄξιον ξένον τὸ
πνεῦμα ἅγιον ἐφ' ἡμᾶς κατέχομεν, καὶ πρὸς τὸ φανερωθήσεσθαι
θείαν αὐτοῦ δύναμιν ἐν ἡμῖν, καλοῦμεν; ὥστ' ἐν τῇ χάριτι αὐτοῦ βε-
βαιωμένοι, θείῳ τῷ νόμῳ εὐφραινώμεθα, πολλὴν τῆς πίστεως αὔξη-
σιν καὶ νέας ἐν τῇ καρδίᾳ κινήσεις γινόσκωμεν, ὥστε τὸν Θεὸν ἀγαπῶ-
μεν, πρὸς τὸ πλησίον εὐνοϊκῶς διατιθώμεθα καὶ πρὸς τὴν πᾶσαν εὐ-
εργασίαν παρεσκευασμένοι γινώμεθα. Ἐὰν δὲ μνεία τοῦ ὀνόμα-
τος Θεοῦ ἡμῖν ἐκ νόος ἐκπίπτει (ὃ ἀποστήτω ὁ Θεὸς ἐλεήμων) καὶ τὰ
ἐπιφράγματα ταῖς ἐπιθυμίαις χαλῶμεν, τὸ πνεῦμα ἅγιον ἐπι-
λυποῦμεν καὶ τότε χαλεπῶς ἁμαρτάνομεν ἀντὶ τούτου τῆς γραφῆς; Μὴ

λυπεῖτε

λυπεῖτε πνεῦμα ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυ-
τρώσεως, καὶ τότε αὐτό διὰ τάς ἁμαρτίας ἐκβάλλομεν. Περὶ οὗ ὁ
Ἀπόστολος οὕτως λογίζει; Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα
τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ
Θεός. Ἐπιθάτερα εἰς τόπον κεχαριτωμένης οἰκήσεως τοῦ πνεύματος
ἁγίου, εἰσέρχονται σκίαι καὶ σκότη τῆς ἀσεβήματος. Ὅποθεν φώστηρες
πλάτυες τοῖς τοῦ ἔχθρου ἡμῶν διαβόλου παραξύσμοις ἀνόιγονται καὶ
τετυφλωμένης συνειδήσεως τὸ ὄναρ ὡς βαθέως λαμβάνουσι οἱ ἄν-
θρωποι, ἵνα ὑπὸ εἰδοῦς ἀτιμωρησίας πόλλα κακουργήματα διαπράττε-
σθαι τολμῶσι Καὶ ἤδη ποτε κατατετραυγματισθείσης συνειδήσεως ἠγη-
γερμένης, ὡς ὄφις τόξικος αὐτοὺς δάκνει, καὶ αὐτοῖς ὥσπερ ἐξη-
κριβωμένα τοῦ ἄδου ἀλγῆ περιπίνειν ἄρχεται, Ὅταν ὡς ἐκ τῶν ἀλα-
στόρων καταχθονίων σεσαλευόμενοι, εἰς ταλαιπώρους ἀπειρίας βά-
ραθρον ἐμπίπτουσιν, ἵνα ἀδύνατος αὐτοῖς μᾶλλον, ἡ δυσκολὴ ἄνο-
δος ᾖ, πρὸς τὴν ἀλήθεα μετανόιαν; Ἀπὸ ὧν πάντων ῥῦσαι ἡμᾶς
ὦ Χριστὲ ἐλευθέριε. Οὐδὲν οὖν ὃ τὴν συνείδησιν βλάπτει, ἢ ὅλως
προθεῖ ποιήσομεν, ὅταν αὐτὴν καθ' ἡμέραν κομίζωμεν ἐν τῷ στηθεῖ
μάρτυρον. Διαφεύγωμεν ἤδη πᾶν τῆς ἀσεβείας συμβόλαιον, καὶ
σπουδάζωμεν περὶ τούτου, ὅπως πασῶν πράξεις πρὸς δόξαν τοῦ Θεοῦ
διευθύνωμεν: Ἄλλως δὲ γίνεται, ἵνα δόξα τῷ Θεῷ ὀφειλομένη βλά-
πτηται καὶ πρὸς τὰ βδελύγματα παραβάλληται, τινός στάσιος, ὁ Κύ-
ριος τίμωρος ἔσται δικαιότατος; Αὐτὸς γὰρ ὁ λέγει; τὴν δόξαν
μου οὐ μὴ τῷ ἄλλῳ δώσω; Οἷα εἰς τινός δόξαν κτίσθεντα πάντα ἐν
τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὶς οὖν εἶ ὦ ἄνθρωπε, ἵνα οὐ μόνως ὀ-
λιγωρῇς, ἀλλ' ἤδη βλασφημῇς εἰς ὄνομα τοῦ Θεοῦ. Ἀλλὰ μᾶλλον
σπούδασον ἵνα ὄνομα τοῦ Θεοῦ ἁγιασθήτω, καὶ αὐτοῦ ἡ δόξα περισσῶς
αἴνηται. Γενήσεται δὲ ἄλλωστε, ἐὰν ἐν τῇ τρίβῳ εὐσεβείας μένωμεν,
ὡς γεγραμμένης δι' αὐτὴν τῆς πίστεως ἡμῶν, δηλῶμεθα περὶ κλη-
ρονομίας τῆς ζωῆς αἰωνίου, ἡ ἡμῖν ἐκ μόνου τοῦ Θεοῦ ἐλέους διὰ εὐερ-
γετήματα τοῦ Χριστοῦ πίστει λαβόμενον, δίδοται ἡ πίστις, ἵνα τῷ Θεῷ δο-
κιμάζηται, καὶ τοῖς ἀνθρώποις ἐκ τῶν ἔργων εὐσεβήματος καὶ ἀγα-
θοσύνης φανερῶνται. Ἐὰν δὲ ἔργα τῆς σαρκὸς περασόνται, ὁ βίος

ῥυπᾶ, ἡ πίστις ἀποβάλλεται καὶ τὸ ὄνομα ἀπὸ βίβλου τῆς ζωῆς ἀφαίρεται,
καὶ τῆς ζωῆς αἰωνίου προσόδος διακλείεται; Οὕτως γὰρ Χριστὸς τοῖς
ἀνοσίοις ἐν ἐσχάτῃ τῇ ἡμέρᾳ ὁμολογήσει; Ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἵτι-
νες ἐργάζεσθε τὴν ἀδικίαν. Δεῦρο ἀντίτεται ἐκεῖνο Συμβόλου τοῦ
Ἀθανασιανοῦ; Οἵτινες τὰ καλὰ ἐποίησαν πορευθήσονται εἰς ζωὴν αἰώ-
νιον, οἵτινες δὲ πονηρά, εἰς τὸ πῦρ ἄσβεστον. Ὡς οὖν μεμολυσμένοι
ἄνθρωποι, οἱ ὅταν ἴδωσι τὰ ἔργα τῆς ἀπιστίας στερεῖν ἑαυτοὺς οὐ μόνως
τῆς σωτηρίας, ἀλλ' ἤδη αὐτοῖς αἰωνίους βασάνους προσφέρειν, καὶ
ὅμως κακῶς ποιεῖν μὴ ἀφιστᾶσιν. Ὅποτεν οὐ μὴ παυόμενοι κακίας,
ταραχθήσονται σφόδρα ἐν ἐσχάτῃ τῇ ἡμέρᾳ, καὶ μεμψιμοίρους στε-
νάγμους ἐκδώσουσι τῆδε; ὦ ἡμεῖς ἀποπλέκτοι, ἔξω διημαρτήσαμεν
τῆς ὁδοῦ τῆς ἀληθείας, καὶ φῶς δικαιοσύνης οὐκ ἐπέλαμψεν ἡμῖν, ἥ-
λιος συνήσιος μὴ ἀνέτειλεν ἡμῖν, καὶ στενάκτοι κένην καταφύγην ζη-
τήσουσι λέγοντες; Ὦ ἐὰν ἡμῖν ἐξ ὑπαρχῆς τὸν βίον διέρχεσθαι ἐξόν,
αἱρετοτέρως τὰ τῆς σωτηρίας ἡμῶν ἐπιμελῶμεν, ὦ ἡμεῖς ταλαι-
πωροῦντες! οὕστινας ἡδονὴ βιωτικὴ τῆς κληρονομίας τῆς ζωῆς αἰωνίου
ἐστέρησεν! Ὦ κακοπαθοῦντες, οὕστινας ἀνομία καὶ ἀδικία ἐπὶ τοσοῦ-
τον ὕψωσεν, ὅποθεν ἡμᾶς νῦν εὐνομία καὶ δικαιοσύνη ἐπικαταβάλ-
λει, Τοσούτοις τρόποις μεμψιμοιρήσουσι αὐτοί, οἵτινες καταφρονο-
μένου τῆς εὐσεβείας σπουδάσματος, τὴν ζωὴν πρὸς τὸ ἀσώτως βιο-
τεύειν, ἀπέλυσαν. Διὰ ταῦτα, ἡμᾶς ἵνα θυσεβῶμεν, ὑπερβάλ-
λοντα εὐχρησήματα, καὶ ἐπαγγέλματα γλυκύτατα προσάξει, τί-
να πάντι τῷ εὐλαβεῖ ἀνθρώπῳ καὶ ἐν τῷ βίῳ τούτῳ καὶ μέλλοντι συμ-
βήσεται: Λεγομένου Ἀποστόλου οὕτως; Εὐσέβεια πρὸς πάντα ὠφελι-
μὸς ἐστίν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν, καὶ τῆς μελλούσης. Ἔσται
γὰρ πολλὴ τῶν ἄθλων ἱκανότη, ἣ τοῖς ἀγαθοῖς δοθήσεται. Ἔσται ἤ-
δη χαρὰ μεγάλη, λεγούσης τῆς γραφῆς ἐκείνως; Ὀφθαλμὸς οὐκ
εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοί-
μασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Μὲν οὖν ἡ εὐσέβεια ἐστὶν ἥτις
τοὺς εὐλάβεις ὡς ἄνακτας ἐν μελλούσῃ τῇ ζωῇ τῷ στεφάνῳ τῆς δι-
καιοσύνης ἀναδήσει; ὡς γὰρ Ἀπόστολος γανισκόμενος ἀνεφώνησε λέ-
γων; Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι τὸν δρόμον τετέλεκα, τὴν
πίστιν

πίστιν τετήρηκα. Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτής. Εὐσέβεια δὲ τινὸς ἐργάταις λεχθήσεται; Εὖ δοῦλοι ἀγαθοὶ καὶ πιστοί ἐπὶ ὀλίγα ἦτε πιστοί, ἐπὶ πολλῶν καταστήσω ὑμᾶς, εἰσέλθετε εἰς τὴν χαρὰν τοῦ κυρίου ὑμῶν. Αὐτὴ δὲ καθ' ἣν εὐλαβεῖς ἀπὸ τῶν τοῦ Θεοῦ δεξιῶν σταθήσονται, καὶ τῆς φωνῆς εὐφροσύνου ἀκούσουσι; Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ τῆς καταβολῆς κόσμου. Ὢ εἰς ὅσον συνοίσει μετ' εὐσεβείας καὶ δικαιοσύνης ἐν ἐσχάτῃ τῇ ἡμέρᾳ ἐζηκέναι! Ἐὰν δὲ μὴ σπουδὴν ἔχωσι οἱ ἄνθρωποι πρὸς τὰ καλὰ ἔργα, τοῦ φιλοχρίστου ἄξια, συμβαίνει ἵνα ἀναισθήτως ἔχωσι, καὶ κατὰ ἀνορεξίαν πράττειν ἄρχονται, μέχρι τοῦ γίνεσθαι πονηρὰν αὐτῶν συνήθειαν ἑτέραν φύσιν, ὥστε εἰς τὸ παλάγιον ἠρπαγμένοι, ἐς πλῶν τῶν ἁμαρτημάτων ἀπόκρημνα ἐκ τῆς τοῦ θελήματος τυφλοῦ ἐπιβολῆς, καταφέρωνται; ἵνα δυσκέρως ἢ οὐδέποτε ἑαυτοὺς σωφρονίζουσι. Καὶ εἰς τοῦτον μὲν τρόπον θεῖαι τοῦ Θεοῦ ἐντολαὶ παραβαίνονται. Μήτε ὑπὸ ἐπινοίας τῆς ἀτιμωρησίας πλημμελεῖ τις, ὁ Θεὸς γὰρ προσάξει εἰς κρίμα τὰ κρύπτα τῶν ἀνθρώπων, καὶ κατὰ τὸ εὐαγγέλιον ψῆφον ὁριστικὸν θήσεται, ἵνα ἀλήθινον τοῦτο εἶναι γινόσκωσι, ὅτι λόγον ἁπάσης τῆς βαττολογίας ἀποδώσομεν. Ὡς οὖν σφαλερόν ἐστὶ εἰς ὅσον ἐπικοιμῶσθαι ἐν τῇ ἀσεβείᾳ, ὡς αἰώνιος ἡ σωτηρία ἀποβάλληται, Ὡς ἤδη ὀλέθριον εἰς ὅσον ἐπιδιδόναι ἑαυτὸν ταῖς ἡδόναις, ὥσπερ ἡ ζωὴ αἰώνιος ὀλοθρεύηται. Διότι ὦ ἄνθρωπε εὐσεβῶς τὸν βίον διατελεῖ, ἵνα ἀϊδίως ζῇσ, σπούδασον ἤδη ἵνα φαύλης τῆς σαρκὸς ἐρεθισμάτων ἐπεχημένων, ὑπερετῇ τῇ ἁγιοσύνῃ. Μήτε τῷ Θεῷ πάσης τῆς ἀσεβείας ἐκδικητῇ παραπτώμασι προσκρούῃς, καὶ σεαυτῷ πρόσοδον τῆς κληρονομίας διακλείῃς. Ἐστὶ γοῦν δέον καὶ ἄξιον ὅπως τῶν ἁγίων ἀνθρώπων βεβιωμένον βίον ζηλῶμεν, οὔτινας οὐδὲ ἐπιτιμία, οὐδὲ ὀλιγωρία, οὐδὲ ὁμοκλὴ οὐδὲ χρηστολογία, μήτε ζωὴ μήτε θάνατος ἀπὸ τῆς εὐλαβείας σπουδῆς διέτηκεν: Ὅποθεν περὶ τῆς σωτηρίας αὐτῶν χρησίμως ἐλπίζομεν, καὶ αὐτῶν τὰ ὀνόματα ἐπὶ τῆς γῆς ἐγκωμίζονται. Πάντες γὰρ ἅγιοι τοῦ Θεοῦ, τὴν τοῦ ὀνόματος αὐτοῦ μνημονείαν βίῳ βεβιω-

μένω ἡτοίμασαν. Σιωπῶ ὅτι εὐλαβὴς Ἄβελ χαριέσαν τῷ Θεῷ θυσίαν προσήνεγκε, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος. Παραλείπω παράδειγμα τῆς εὐσεβείας καὶ ἀρετῆς Ἐνὼχ ὅστις περὶ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι τῷ Θεῷ. Ὑπερβαίνομαι ὅτι Νῶε τῆς δικαιοσύνης δημήγορος, πρὸς τὸν Θεὸν εὐσεβῶς ἔσχηκε, καὶ μετὰ σπουδῆς ἐδίδαξεν, ἵνα τῇ ἀσεβείᾳ καὶ ἀμελησίᾳ ἀνακειμένους ἀνθρώπους, εἰς κρείττονα τῆς ζωῆς λόγον διάγῃ: Τινὸς ἐλογεῖον μένει ἐπὶ τῆς γῆς, ὅτι κατὰ πίστιν τῆς δικαιοσύνης ἐγένετο κληρονόμος. Σιωπῇ παρέρχομαι, ὅτι Ἀβραὰμ χρηματισθεὶς εἰσελθεῖν εἰς τὴν γῆν ἀλλοτρίαν, πίστει ὑπήκουσε, καὶ ἐξῆλθε, καὶ μαρτυρεῖται ὅτι ἦν ὁ πατὴρ τῶν πιστευόντων. Οὐδὲ ἐπικαλέομαι εἰς τὸ παράδειγμα σωτῆρος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅστις τὴν φύσιν ἀνθρωπίνην προσέλαβε, καὶ ἐν αὐτῇ ἡμᾶς, δικαιοσύνης, ἁγιάσματος καὶ πασῶν ἀρετῶν, ἐν τῷ νόμῳ τοῦ Θεοῦ προστεταγμένων, τὸ ἐπαύγασμα παρέχῃ: περὶ τούτου ἐτύμως λέγεται, ὅτι δόλος ἐν τῷ στόματι αὐτοῦ οὐκ καταλάβη, καὶ ἀφωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν. Τίς δὲ δυνατός ἐστι, ἅπαντα τῆς εὐσεβείας παραδείγματα ἀπομνημονεύειν. Κἂν ἡμᾶς κωλύῃ ἐν δρόμῳ τῶν καλῶν ἔργων, τὸ δέλεασμα τῆς σαρκὸς ἡμῶν, φύσεως φθορά, τοῦ κόσμου σόφισμα, τοῦ διαβόλου ἐπιβουλία, ἀλλ' ὅμως τούτοις καὶ ἄλλοις πειρασμοῖς ἀντιστήσομεν μετὰ δεήσεως, καὶ ἐποχῆς τῶν πονηρῶν ἐπιθυμιῶν, καὶ τότε γενήσεται, ἵνα λελημμένης βοηθείας τοῦ πνεύματος ἁγίου, ἐν τρίβῳ εὐλαβείας διατελῶμεν, ὅτι αὐτὸ ὁδηγὸν ἔχωμεν, ὅτι τοῖς αἰτοῦσι δίδοται, κατὰ τὴν ἐπαγγελίαν. Ἐκεῖνο ἐστὶν ὁ ὁδηγεῖ ἡμᾶς εἰς πᾶσαν ἀλήθειαν, καὶ συναίρεται ἡμῖν τὴν ἀσθένειαν, ὥστε ἐν τῇ τῶν καλῶν ἔργων σπουδῇ ἑτοῖμοι καὶ ζέμοι ἀποβαίνωμεν, καὶ μετὰ εὐφροσύνης τῷ Θεῷ ἀρέσκοντα ποιῶμεν. Ὕστερον ἐν ἐργασίαις καρτερικῶς διαμένειν ὀφείλομεν, μήτε τὸν δρόμον ἡμῖν σφετερίζεσθαι ἐῶμεν; Σφαλερὸν γὰρ ἐστὶ τῆς εὐσεβείας ἀμελῶς ἔχειν, καὶ ἑαυτὸν τῇ ἀναισθησίᾳ ἐκδιδόναι. Μήτε συμβόλαιον πρὸς ἀδίκους ἔχωμεν, οὕτως γὰρ χαλεπῶς μετανοήσωμεν. Ἐὰν δὲ

ἐν

ἐν τοῖς καλοῖς ἔργοις ποιηθησομένοις διαμένωμεν, ὧν χρηστήματα πολλὰ ἀνακύψει δια τῶν τοῦ Θεοῦ ἐντολῶν ἐπεξεργασία, τῆς χάριτος καὶ ἐλέους αὐτοῦ ἐπαγγελία, τῆς ἐν ἡμῖν πίστεως παρούσης πληροφορία. Ἐξ ὧν ὡς ἐκ πηγῆς βλυζούσης ἀμέσως ἐπιῤῥεῖ τῆς συνειδήσεως ἡμῶν εὐθυμία, βέβαια ἐν ἀτυχίαις παραμυθία, καὶ κατὰ τὸν θρυμμαγμὸν τοῦ κόσμου εὐελπιστία, γινόσκοντες ὅτι οὐδὲν ἑαυτοῖς συνοίδαμεν. Ὡς καλῆς συνειδήσεως ἀπέλαυσεν ὁ εὐλαβὴς Σαμουὴλ, ὅστις ἐκφώνησε λέγων; Διέτριψα μεθ' ὑμῶν ἀπὸ τῆς ἐφύβιας μου, καὶ νῦν πολιοῦμαι καὶ γηράω, λαλήσατε περὶ μοῦ ἐνώπιον τοῦ κυρίου, ἆρα τινός ταῦρον ἄρω? ἆρα τίνα διαβάλω, ἢ ἀπὸ τῆς χειρός τινός δῶρα λάβω? ὡς αὐτὸς. Ὅποθεν οὕτως βίον καταζήσομεν, ἵνα τὴν καλὴν συνείδησιν ἔχοντες, τῷ ἑκάστῳ τῆς ζωῆς ἀβλάβλειαν ὀφθαλμῷ φανερῶς δηλῶμεν. Ἐπιθάπερ συμβαίννει, ἵνα ἀσκοῦσιν ἡμῖν εὐσέβειαν, ἀξιοῖ τὸ πνεῦμα ἅγιον ἐπιχαρίτως παρεῖναι, καὶ τὰ σώματα ἡμῶν ἑαυτῷ μονὴν ποιεῖν, καὶ κατὰ θείαν ἐπαγγελίαν, ἑαυτὸ ἀποδεικνύειν τὸ ἔγχυρον τῆς κληρονομίας ἡμῶν, καὶ συμμαρτυρεῖν τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ: Εἰ δὲ τέκνα καὶ κληρονόμοι, κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ. Ἀ ὅταν οὕτως ἔχῃ, δεῦτε ὦ ἐκλέκτοι Θεοῦ, περὶ τοῦ εὐσεβήματος σπουδάζετε, ἐν τῇ τῶν καλῶν ἔργων ποιήσει ἐπιμένετε, ἵνα τῷ τοῦ Θεοῦ θελήματι ὑπακούητε, βίον τῆς ὁμολογίας ἡμῶν ἄξιον διατέλητε, καὶ πνεῦμα ἅγιον ὑμῖν παρὸν κατέχητε, Ὃ ὑμᾶς ἐν τῇ πίστει βεβαιοῖ, καὶ πρὸς τὰ καλά ἔργα ἐγείρῃ. Γενοίτο ὦ πνεῦμα ἅγιον, παράκλητε ἄριστε, ἵνα ἐν ἀληθεῖ πίστει καὶ ὁσιότητι ὑπομένοντες, ἐν τοῖς καλοῖς ἔργοις πλουτῶμεν, καὶ διὰ πίστεως εἰς Ἰησοῦν Χριστὸν ζωὴν αἰώνιον κληρονομῶμεν.

Καθ' οὐρὰν, πρὸς σέ, ὦ πάτερ ἐπουράνιε, τὸ βέλος τοῦ λόγου τούτου διευθύνω, ἱκενεύων, ὅπως ἱερὸν τὸ Βασιλικὸν σεμνὸν, μετὰ παρακολουθήσεως αὐτοῦ ἐν τῶν πολέμων κελαδήμασι καὶ τῶν ὅπλων συγκρουσμοῖς ἀπὸ πάντων τῶν κινδυνευμάτων πρᾴως διασώζῃς τε

εἰς

εἰς τὴν πατρίδα ἡμῶν ἄνοσον ἀνάγης, καὶ ἐν αἰωνίῳ τῇ εἰρήνῃ καὶ γα-
λήνῃ ἀναπιθῇς, καὶ πάντα εὔκαιρα πιθῇς, ὅπως σχολὴν ἔχωμεν τοῦ με-
λετᾶν τὰ τῆς εὐσεβείας καὶ καλῶν τῶν γραμμάτων γυμνάσματα.
Σοὶ μετὰ υἱοῦ καὶ πνεύματος ἁγίου, ὁ αἶνος, τιμὴ καὶ
δόξα, εἰς τοὺς τῶν αἰώνων αἰῶνας,
Ἀμήν.

## ἜΛΕΓΟΝ.

*Humanißimo atq; Litteratißimo Juveni,*
DN. ANDREÆ A. ARGILLANDRO,
bonarum artium cultori perinduſtrio, fratri ac
ſympatriotæ ſincerè dilecto, de præclaro pie-
tatis & bonorum operum ſtudio
eruditè peroranti:

*JAm mea jucundo ſaliunt præcordia geſtu,*
*Votivoq; ferunt dulces modulamine voces*
Argillandro *equidem, ſophias qui vivida ſemper*
*Ornamenta ſtudet cultæ ſuperaddere linguæ,*
*Exponens linguâ pietatem ritè pelaſgâ:*
*Et precor abſolvat penſum conamine docto,*
*Atq; ferat felix dignißima præmia Muſis.*
*Hæc fiant, cupidè voveo nnnc pectore fido.*

Non tàm moris, quàm honoris gratia
accinebat
ARVIDUS ARVIDI
Fonthelius Dal.

*Juveni Doctrinæ cultu præstantißimo,*
Dn. ANDREÆ A. DAL. ARGILLANDRO, populari ac fratri familiaritatis usu mihi conjunctissimo, græcam hanc orationem verborum ac sententiarum floribus doctè venusteq; conspersam, in Regia Ubsal. Acad. eleganter declamanti:

Euge *Argillander* suavissime sympatriota,
Ingenij specimen nobile ritè probas;
Dum Grajo Eloquio sanctæ *Pietatis* amorem,
Suades, ingenij luce sagace potens:
Est sermo comtus puroq; simillimus amni,
Quem tibi pervigili docta Minerva dedit.
Hâc dulci suadâ quisquis non flectitur, ipse
Durius Hyrcana Tigride pectus habet.
Gratulor ergo tibi cœptum, dilecte sodalis,
Conjungens votis hæc mea vota tuis:
Te Deus incolumen servet, cœptumq; secundet,
Quò Patriæ prosis. vive vigeq; diu.

*Ita fraternè gratulabar,*
BENEDICTUS BRINCK
West-Gothus.

## ALIUD.

QUid fossis arces, celsis quid mænibus urbes,
Quid multo villas aggere cingis homo;
Es proprijs etenim peregrinus in ædibus hospes,
In patria, agnatos inter es exul, homo.
VIVE PIE potiùs, confisus ritè Jehovæ
Tuta tibi hic semper mansio, VIVE PIE.
Dalius ANDREAS monet hoc, exporrige frontem,
Unde tibi quæ sit gloria, monstrat opus.

*Sinceræ affectionis & honoris ergò*
*festinantèr cecinit*
Andreas Amberni Schödviensis.

## Aliud ad Eundem.

*SI mundi quanta est tanta esset cura Salutis,*
*Æternâ nullus morte periret homo.*
*Hoc seriò meditans* Andreas Dalius, *euge!*
*Exponit quid sit relligionis honos.*
*Sit faustum pelago quod iter susceperis opto,*
*In portum placidum cymbula teq; vehat.*

*Congratulationis & fraternitatis gratiâ,*
*hæc paucula apposuit*
Andreas Svenonis Giöchemius.

books2ebooks.eu

www.books2ebooks.eu

e-böcker från ditt bibliotek av

eBooks on Demand

digitaliserad av

Kungliga Biblioteket

National Library of Sweden